ὀργὴ δηλονότι καὶ τὰ τοιαῦτα, ἅπερ, ἂν μὲν ἀπὸ φύσεως ᾖ, ἢ εἰ καὶ μὴ ἀπὸ φύσεως ἀλλ' ἀπό τινων συμπτωμάτων μεγάλων, δι' ἃ δυσαπάλλακτοι γίνονται, παθητικαὶ ποιότητες εἰσίν, ἀφ' ὧν παρονομάζονται οἱ πεπονθότες, οἷον ὀργιλοὶ ἢ μανικοί· ἂν δ' ἀπό τινων αἰτιῶν ἢ διαθέσεων ταχὺ ἀποκαθισταμένων γίνωνται, πάθη μόνον λέγονται.

Τέταρτον δὲ γένος.

Τίθησι νῦν καὶ τὸ τέταρτον τῆς ποιότητος γένος ἢ εἶδος· καὶ ἀμφότερα γὰρ ἀληθῆ· εἶδός τε γάρ ἐστι καὶ γένος τὸ αὐτό, ὅτι ὑπάλληλον καὶ οὐκ εἰδικώτατον, καὶ τοῦτό ἐστι τὸ σχῆμα καὶ ἡ μορφή. Διαφέρει δὲ ἡ μορφὴ καὶ τὸ σχῆμα κατὰ τὸν λόγον· ἡ γὰρ μορφὴ λέγεται ἐν τῇ πρὸς τὸ μεμορφωμένον παραθέσει, ὅπερ ἐστὶν ἔνδοθεν· τὸ δὲ σχῆμα λέγεται καθό ἐστιν ὁρισμὸς καὶ ἀποπεράτωσις τοῦ ποσοῦ, ὅπερ ἐστὶν ἔξωθεν τοῦ ὑποκειμένου. Εἰσὶ γοῦν ταῦτα ποιότητες, ὅτι καὶ ἀπὸ τῆς μορφῆς τὸ μεμορφωμένον λέγεται ἢ τὸ εὔμορφον, καὶ ἀπὸ τοῦ σχήματος τὸ ἐσχηματισμένον. Τούτοις ἀνήκει τοῖς εἴδεσι τοῦ ποιοῦ καὶ ἡ εὐθύτης καὶ ἡ καμπυλότης καὶ πᾶσαι ἄλλαι διαθέσεις αἱ περὶ τὴν ἐπιφάνειαν· καὶ γὰρ καὶ ἀπὸ τούτων ποιοὶ λέγονται. Τὸ δὲ μανὸν καὶ πυκνόν, καὶ τὸ τραχὺ καὶ λεῖον δοκοῦσι μὲν εἶναι ποιότητες· διατέθειται γάρ πως ἕκαστον τῶν μετεχόντων καὶ ἀπ' αὐτῶν παρονομάζεται τὰ μετέχοντα· οὐκ εἰσὶ δὲ ποιότητες ἀλλὰ μᾶλλον θέσεις. Καὶ τοῦτο δείκνυσιν ἐκ τῶν ὁρισμῶν αὐτῶν· πυκνὸν γάρ ἐστιν οὗ τὰ μόρια σύνεγγύς εἰσιν ἀλλήλοις καὶ συνεχῆ οὕτως ὥστε μὴ δύνασθαι δέξασθαι ἑτερογενὲς σῶμα· ἀραιὸν δέ, οὗ τὰ μόρια διεστήκασιν· καὶ λεῖον μέν ἐστιν οὗ τὰ μόρια ἐπ' εὐθείας πως
f. 127 v κεῖται, ἤγουν | οὗ τὰ μόρια ἴσως ἐξέχουσιν· τὸ δέ πως εἶπεν, ἤγουν κατά τι σχῆμα ἢ στρογγύλον, ὡς ἐπὶ τοῦ μήλου· ἢ ἐπίπεδον, ὡς ἐπὶ τῶν ἐπιπέδων ὁμαλῶν· τραχὺ δέ ἐστιν οὗ τῶν μορίων τὸ μὲν ὑπερέχει, τὸ δὲ ἐλλείπει, ὥσπερ, λόγου χάριν, τὸ πρόσωπον.

Ἑπομένως ἐξαιτιᾶται ἑαυτὸν λέγων, ὅτι ἴσως καὶ ἄλλοι φανεῖεν ἂν τρόποι ποιότητος, ἀλλ' οἱ μάλιστα εἰωθότες λέγεσθαι τοσοῦτοι εἰσίν, καὶ ὁμολογουμένως οὐκ εἰσὶ πλείους, ὡς ἥ τε διαίρεσις ἔδειξεν καὶ ἡ τῶν παλαιτέρων καὶ ἐχεφρόνων ἀνδρῶν ζήτησις.

Ποιότητες μὲν οὖν.

Διαλεχθεὶς ἡμῖν πρότερον περὶ τῆς ποιότητος, νῦν περὶ τοῦ ποιοῦ διαλέγεται. Φησὶν οὖν, ὅτι ποιά εἰσι τὰ παρωνύμως ἀπὸ τῶν ποιοτήτων λεγόμενα, ἢ ὁπωσοῦν ἄλλως ἤγουν ἑτερωνύμως ἀπ' αὐτῶν, καὶ δίδωσι παραδείγματα τῶν παρωνύμως λεγομένων ποιῶν. Ἔνιαι δέ, φησί, ποιότητες, μὴ ἔχουσαι ὀνόματα κείμενα, οὐ παρονομάζουσι τὰ μετέχοντα αὐτῶν, ἢ αὐταὶ μὲν ἔχουσιν ὀνόματα, τὸ δὲ παράγωγον οὐ δύναται λέ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΠΕΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΜΕΟΣΑΙΩΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΘΩΝΤΗΣ ΑΝ. ΚΑΡΑΝΤΙΝΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ.ΤΡΣΚ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

γεσθαι ἀπ' αὐτῶν παρωνύμως, εἰ μὴ ἄλλως πως· ὥστε ἡ ὁμοιότης τοῦ ἐξ ἀφαιρέσεως καὶ τοῦ συγκεκριμένου κατὰ τοὔνομα, τουτέστιν ἡ παρωνυμία, ἀπὸ διπλῆς ἐνδείας εἴργεται, τῆς τε ἐνδείας τοῦ πρωτοτύπου εἴτουν τοῦ ἐξ ἀφαιρέσεως, καὶ τούτου τίθησι παράδειγμα τὸν δρομικὸν καὶ τὸν πύκτην· οὐ γὰρ παρονομάζονται ἀπὸ τῆς δρομικῆς καὶ τῆς πυκτικῆς καθὸ ἀνάγονται πρὸς τὸ τρίτον εἶδος τῆς ποιότητος· δρομικὴ γὰρ καὶ πυκτικὴ ὀνόματά εἰσι μᾶλλον τῶν ἐπιστημῶν, ἅπερ ἀνήκουσι πρὸς τὸ πρῶτον εἶδος τῆς ποιότητος. Εἴργεται δὲ ἡ παρωνυμία καὶ ἀπὸ τῆς ἐνδείας τοῦ παραγώγου εἴτουν τοῦ συγκεκριμένου, καὶ τούτου τίθησι παράδειγμα τὸν σπουδαῖον, ὃς σημαίνει μὲν τὸν τὴν ἀρετὴν ἔχοντα καὶ ἀπὸ ταύτης λέγεται· οὐ μέντοι γε παρωνόμασται ἀπ' αὐτῆς· ἐνδέως γὰρ ἔχει πρὸς τοῦτο καὶ ἀδυνάτως ὅσον κατὰ τὴν λέξιν· οὐ γὰρ δύναται λέγεσθαι ἀρεταῖος· οὕτω γὰρ ἂν εἴη παρώνυμον.

Ἰστέον δὲ ὅτι καὶ ὁμωνύμως ἀπὸ τῶν ποιοτήτων λέγεσθαί ποτε τὰ μετέχοντα φησὶν ὁ Ἀμμώνιος, οἷον ἀπὸ τῆς γραμματικῆς ἐπιστήμης | λέγεται f. 128
ἡ γραμματικὴ γυνή, καὶ ἀπὸ τῆς μουσικῆς ἡ μουσικὴ γυνή· οἶεται γὰρ ταῦτα μὴ εἶναι παρώνυμα διὰ τὸ μὴ διαφέρειν τῇ πτώσει· κακῶς δὲ τοῦτο λέγει, ἀγνοῶν ὅτι πτῶσις οὐ μόνον ἡ ἀναλογία τῆς τελευταίας συλλαβῆς λέγεται, ἀλλὰ καὶ ὁ διάφορος τῆς νοήσεως τρόπος, ἃ καὶ ἄμφω καὶ τὸ ἕτερον τούτων πρὸς τὴν παρωνυμίαν ἀρκεῖ. Οὕτω γὰρ κἀνταῦθα ἡ μουσικὴ γυνὴ ὅσον μὲν κατὰ τὴν λέξιν οὐ διαφέρει, ἀλλὰ κατὰ τὸν τρόπον τῆς νοήσεως διαφέρει· ἡ μὲν γὰρ μουσικὴ γυνὴ νοεῖται ὡς τὸ μετέχον καὶ τὸ συγκεκριμένον· ἡ δὲ μουσικὴ ἐπιστήμη ὡς τὸ μετεχόμενον καὶ τὸ ἐξ ἀφαιρέσεως· ἢ τὸ μὲν ὡς τὸ ὑποκείμενον, τὸ δὲ ὡς τὸ ἐν ὑποκειμένῳ. Ὁ δὲ Φιλόσοφος καὶ τὴν τοιαύτην διαφορὰν πτῶσιν βούλεται λέγειν.

Ὑπάρχει δὲ καὶ ἐναντιότητα.

Διορισάμενος περὶ τῆς ποιότητος κατὰ τὰ οὐσιώδη, νῦν διορίζεται περὶ αὐτῆς κατὰ τὰς ἰδιότητας, καὶ πρώτην ποιότητα τίθησιν, ὅτι ὑπάρχει ἐναντιότης τῇ ποιότητι καὶ τῷ ποιῷ, καὶ πῶς οὐκ ἂν ὑπάρχοι, ὅπου καὶ τοῖς ἄλλοις οἷς πρόσεστιν ἡ ἐναντιότης διὰ τὴν ποιότητα πρόσεστιν, καὶ τίθησι παραδείγματα τούτων. Εἶτά φησι μὴ εἶναι τοῦτο ἀντιστρέφουσαν ἰδιότητα· οὐ γὰρ ἁρμόττει πάσαις ποιότησι· τοῖς γὰρ μέσοις χρώμασιν οὐχ ἁρμόττει, ἅπερ εἰσὶ ποιότητες, οἷον τῷ ὠχρῷ καὶ ξανθῷ.

Εἶτα τίθησιν ἰδιότητα τῶν ἐναντίων, περὶ ἧς ἥρμοττε λέγειν ὅσον κατὰ τοῦτο τὸ μέρος· ἤ, κατὰ ἄλλους, ἀποσκευάζεται πλάνην τινά. Ἔδοξε γὰρ ἄν τινι, ὅτι τὸ ἐναντίον τῆς ποιότητος οὐκ ἔστι ποιότης. Φησὶ τοίνυν, ὅτι ἐὰν τῶν ἐναντίων θάτερον ᾖ ποιόν, καὶ τὸ λοιπὸν ποιὸν ἔσται· τῶν

6 ἀνάγεται B

ΕΠΑΛ ΠΕΠΕΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΕΤΟΥΠΗΣ Α.Ν. ΤΑΟΥΠΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

γὰρ ἐναντίων τὸ αὐτὸ γένος ἐστί. Δείκνυσι δὲ τοῦτο καὶ ἐξ ἐπαγωγῆς διὰ τοῦ μηδεμίαν τῶν ἄλλων κατηγοριῶν ἐφαρμόζειν τῷ ἐναντίῳ τῆς ποιότητος εἰ μὴ τὸ ποιόν.

Ἐπιδέχεται δέ.

Τίθησιν ἑτέραν ἰδιότητα, ὅτι τὸ ποιὸν ἐπιδέχεται τὸ μᾶλλον καὶ ἧττον. Καὶ πρῶτον μὲν δείκνυσι ταύτην τὴν ἰδιότητα παραδείγμασιν, ἅμα λέγων ὅτι τὸ μᾶλλον καὶ ἧττον ἐπιδέχεται τὸ ποιὸν οὐ πρὸς ἄλλο μόνον, f. 128r ἀλλὰ δὴ καὶ πρὸς ἑαυτό. Εἶτα τίθησι | δύο ἐνστάσεις πρὸς ταύτην τὴν ἰδιότητα, μίαν ἀπὸ τῶν ἐξ ἀφαιρέσεως ποιῶν, οἷς οὐχ ἁρμόττει αὕτη ἡ ἰδιότης, εἰ καὶ τοῖς συγκεκριμένοις αὐτῶν ἁρμόττει· δευτέραν δὲ ἀπὸ τῶν σχημάτων, οἷς οὐχ ἁρμόττει αὕτη ἡ ἰδιότης οὔτε κατὰ τὸ ἐξ ἀφαιρέσεως οὔτε κατὰ τὸ συγκεκριμένον· καὶ δείκνυσι τοῦτο διὰ τοῦ ὁρισμοῦ τούτων. Ὅτι δὲ τὸ σχῆμα ποιότης ἐστί, δῆλον ἐκ τῶν προειρημένων· ἔστι γὰρ τὸ τέταρτον τῆς ποιότητος εἶδος. Μετὰ δὲ τὴν ἀπόδειξιν τῶν ἐνστάσεων συμπεραίνει κατὰ τῆς ἰδιότητος θαρρούντως, ὅτι αὕτη ἡ ἰδιότης οὐ πᾶσι τοῖς ποιοῖς ἁρμόττει, καὶ ἡ λύσις τούτου τοῦ μέρους σαφεστάτη ἐστίν.

Ὅμοια δέ.

Νῦν τίθησι τὸ κυρίως ἴδιον τῆς ποιότητος καὶ ἀντιστρέφον, ὅπερ οὐδενί τε ἄλλῳ καὶ τῇ ποιότητι πάσῃ ἁρμόττει, καὶ τοῦτο ἐστὶν ὅτι κατὰ τὰς ποιότητας τὰ πράγματα ὅμοια καὶ ἀνόμοια λέγεται, ὥσπερ τὰ ταῦτα κατὰ τὴν οὐσίαν, καὶ τὰ ἴσα καὶ ἄνισα κατὰ τὴν ποσότητα.

Οὐ δεῖ δὲ ταράττεσθαι.

Νῦν κινεῖ τινα ἀπορίαν ἐκ τῶν προειρημένων καὶ ταύτην ἀποσκευάζεται. Καὶ ἡ ἀπορία ἐστὶ πῶς τινα τεθέντα πρότερον ἐν τῷ γένει τῶν πρός τι νῦν ἐν τῷ γένει τῆς ποιότητος τέθεινται, ὥσπερ ἡ ἕξις καὶ ἡ διάθεσις. Καὶ φησὶν ὅτι οὐ δεῖ πρὸς τοῦτο ταράττεσθαι· οὐ γάρ ἐστι τοῦτο ἄτοπον ἢ ἀδύνατον. Τίθησι γοῦν πρὸς τοῦτο δύο λύσεις. Καὶ ἡ πρώτη ἐστίν, ὅτι οὐ κατὰ τὸ αὐτό εἰσιν ἡ ἕξις καὶ ἡ διάθεσις ποιότητες καὶ ἀναφοραί, ἀλλ' ὅσον κατὰ τὸ γένος εἰσὶ πρός τι, οἷον ἡ ἐπιστήμη, ἥτις ἐστὶ γένος τῆς γραμματικῆς, λέγεται πρός τι· τινὸς γὰρ ἐπιστήμη λέγεται· ἀλλ' ἡ γραμματική, τὸ εἶδος τῆς ἐπιστήμης, οὐ λέγεται πρός τι· οὐ γάρ τινος γραμματικὴ λέγεται, ἀλλ' ἔστι ποιότης, διότι κατ' αὐτὴν λεγόμεθα ποιοί, ἤγουν γραμματικοί· τοῦτο μέντοι γε τὸ εἶδος, ἡ γραμματική, συναπτόμενον τῷ γένει, καὶ πρός τι εἶναι δύναται· δυνάμεθα γὰρ λέγειν, ὅτι ἡ γραμματική ἐστι τινὸς ἐπιστήμη, οἷον τῶν ὀκτὼ τοῦ λόγου μερῶν, καὶ ἡ μουσικὴ τινὸς ἐπιστήμη, ὅτι τοῦ ἡρμοσμένου τυχόν, ἢ τοῦ f. 129 πρὸς ἄλλο ἐν τοῖς ἀριθμοῖς, ἤ τινος τοιούτου. Δευτέραν δὲ | λύσιν τίθησι

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΠΙΣΤΗΜΩΝ ΦΙΛΟΣΟΦΙΑΣ ΙΑΤΡΙΚΗΣ ΚΑΙ ΦΥΣΙΚΩΝ ΕΠΙΣΤΗΜΩΝ ΔΙΕΥΘΥΝΤΗΣ ΑΝΑΛΗΨΗΣ ΚΑΘΗΓΗΤΗΣ ΘΕΛΗΜΑΣ ΣΟΦΙΑΣ ΛΑΜΠΡΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. ΙΩΑΝΝΙΝΑ 2006

καὶ ἀκριβεστέραν ἴσως, ὅτι εἰ συμβαίνει τὸ αὐτὸ ποιὸν καὶ πρός τι εἶναι, συμβαίνει δὲ τὸ τοιοῦτον ἐπὶ πολλῶν, οὐδὲν ἄτοπόν ἐστιν ἐν ἀμφοτέροις αὐτὸ τοῖς γένεσι καταριθμεῖσθαι, ὥσπερ εἰ τύχοι τὸν Σωκράτην εἶναι πατέρα, οὐδὲν ἄτοπον καὶ ἐν ἀμφοτέροις τοῖς γένεσι καταριθμεῖσθαι, οἷον οὐσίᾳ καὶ ἀναφορᾷ, ὡς μὲν Σωκράτην ὑπὸ τὴν οὐσίαν, ὡς δὲ πατέρα ὑπὸ τὴν ἀναφοράν.

[Ζητήματα.]

Περὶ τοῦτο τὸ μέρος ζητεῖται πρῶτον μέν, ἐπειδὴ εἶπεν, ὅτι τρίτον εἶδος ποιότητος παθητικαὶ ποιότητες καὶ πάθη, πῶς μετὰ ταῦτα λέγει ὅτι τὰ ἀπὸ ῥᾳδίως μεταβαλλομένων γινόμενα πάθη μέν εἰσι, ποιότητες δὲ οὔ. Καὶ ῥητέον, ὅτι τὰ πάθη περὶ ὧν διαλέγεται κατὰ τὴν αὐτῶν ὕπαρξίν εἰσι ποιότητες, ἀλλὰ διότι ἡ παρωνυμασία τοῦ πράγματος οὐ γίνεται ἀπὸ οἱασδήποτε ποιότητος ἀλλὰ μόνον ἐξ ἐκείνων αἵτινες ὡς ἐπὶ τὸ πλεῖστον ἢ ἀεὶ διαμένουσι, τὰ δὲ πάθη οὐκ εἰσὶ τοιαῦτα, διὰ τοῦτο ὁ Ἀριστοτέλης τὰ τοιαῦτα πάθη φησὶ μὴ εἶναι ποιότητας. Ὅθεν ὁ Ἀριστοτέλης οὐκ ἀρνεῖται ἁπλῶς, ὅτι τὸ πάθος οὐκ ἔστι ποιότης, ἀλλ' ὅτι οὐκ ἔστι ποιότης τελεία.

Ἰστέον δὲ ὅτι τὸ πάθος, καθὸ ἐπάγεται ἐκ τῆς ἐνεργείας, ἐστὶ κατηγορία, διότι ἐκείνῃ ἀντιδιαιρεῖται· καθὸ δὲ μένει μετά τινα ἐνέργειαν, ἀνήκει πρὸς τὸ τρίτον εἶδος τῆς ποιότητος.

Δεύτερον, ζητεῖται διατί ἐν τῷ τρίτῳ εἴδει τῆς ποιότητος τὴν θερμότητα καὶ τὴν ψυχρότητα τίθησιν, ἐπεὶ ἔθηκεν αὐτὰ ἐν τῷ πρώτῳ εἴδει· ὥσπερ γὰρ ἀδύνατον ἓν καὶ τὸ αὐτὸ εἶδος ἐν διαφόροις γένεσι μὴ περιέχουσιν ἄλληλα, οὕτως ἀδύνατον καὶ ἐν διαφόροις εἴδεσι μὴ ἄλληλα περιέχουσιν εἶναι. Καὶ δεῖ λέγειν πρὸς τοῦτο, ὅτι οὐ τίθησι παράδειγμα τὴν θερμότητα καὶ ψυχρότητα, καὶ τὴν νόσον καὶ τὴν ὑγείαν, ἵνα δηλώσῃ ὅτι ταῦτά εἰσιν ἐν τῷ πρώτῳ εἴδει, ἀλλ' ἵνα δείξῃ ὥσπερ διά τινος ὁμοιότητος ἐν τούτοις λαμβανομένης τὴν φύσιν τῆς διαθέσεως· καὶ τοῦτο καὶ ἀπ' αὐτοῦ τοῦ γράμματος δῆλόν ἐστι τοῖς ἀκριβῶς ἐνορῶσιν.

Τρίτον, ζητεῖται διατί τὸ σχῆμα εἶπεν εἶναι ποιότητα· τὸ γὰρ σχῆμα | ἀνήκει τῇ ἐπιφανείᾳ, ἥτις ἐστὶ ποσότης. f. 129 v

Καὶ ἰστέον ὅτι τὸ σχῆμα, ὅσον πρὸς τὴν ἐπιφάνειαν, ποσότης ἐστίν· ὅσον δὲ πρὸς τὴν σύνθεσιν, ἔστι ποιότης, οἷον τὸ τετράγωνον τριχῶς δύναται θεωρεῖσθαι· ἢ καθόσον ἐγκλείεται, καὶ οὕτως ἐστὶν ἐπιφάνεια καὶ ποσότης· ἢ ὅσον πρὸς αὐτὴν ἵν' οὕτως εἴπω τὴν ἔγκλεισιν, καὶ οὕτως ἐστὶ θέσις· ἢ ὅσον πρὸς τὴν θέσιν ἥτις ἐκ τῆς ἐγκλείσεως καταλείπεται, καὶ οὕτως ἐστὶ ποιότης.

Τέταρτον, ζητεῖται περὶ τοῦ τραχέος καὶ λείου, τοῦ ἀραιοῦ καὶ πυκνοῦ,

---

4 καταριθμεῖσθαι: κατηγορεῖσθαι BC

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

πῶς εἶπε ταῦτα μὴ εἶναι ποιότητας ἀλλὰ θέσεις· πᾶν γὰρ ὅπερ ἐπιφέρει πάθος καθ' ἑαυτό ἐστι παθητικὴ ποιότης· ἀλλὰ ταῦτα πάντα ἐπιφέρουσι πάθος καθ' αὑτά· εἰσὶν ἄρα ποιότητες. Ἀλλ' ἰστέον ὅτι τὸ τραχὺ καὶ λεῖον καὶ τὰ τοιαῦτα διχῶς δύνανται θεωρεῖσθαι· ἢ ὅσον πρὸς τὴν τάξιν
5 τῶν ἰδίων μερῶν, ᾗ τοιαῦτά εἰσιν, καὶ οὕτως εἰσὶ θέσεις· ἢ ὅσον πρὸς τὴν διάθεσιν ἥτις ἐκ τῆς τοιαύτης τάξεως καταλείπεται, δηλονότι ὥσπερ τὰ τοιαῦτα ταῖς αἰσθήσεσι δηλοῦνται, καὶ οὕτως εἰσὶ ποιότητες· καὶ τὸ ἐπιχείρημα συνεπέραινεν οὕτως.

Πέμπτον, ζητεῖται, ὅσον πρὸς τὴν πρώτην ἰδιότητα, διατί εἶπε τὴν
10 δικαιοσύνην ἐναντίαν εἶναι τῇ ἀδικίᾳ, ἐπειδὴ ἐν τῷ Περὶ ἑρμηνείας λέγει ταύτας ἀντικεῖσθαι στερητικῶς.

Ἔτι, εἶπεν ὅτι τῷ ὠχρῷ καὶ ἐρυθρῷ ἢ πυρρῷ οὐδέν ἐστιν ἐναντίον, ἐπειδή εἰσι μέσα δύο ἐναντίων ποιοτήτων· οὐκοῦν, ἐρεῖ τις, καὶ τῇ ἐλευθεριότητι οὔσῃ μεταξὺ ἀσωτίας καὶ ἀνελευθεριότητος οὐδὲν ἐναν-
15 τιωθήσεται.

Καὶ ῥητέον πρὸς τὸ πρῶτον, ὅτι πάντα τὰ ἐναντίως ἀντικείμενα δύνανται τρόπῳ τινὶ καὶ στερητικῶς ἀντικεῖσθαι, διαφόρῳ μέντοι γε θεωρίᾳ. Εἰ μὲν γὰρ ἡ ἀδικία λέγει στέρησιν τῆς δικαιοσύνης ἀπὸ τοῦ ἰδίου ὑποκειμένου χωρὶς θέσεως τινός, οὕτως ἀντίκειται στερητικῶς. Εἰ δὲ ἡ
20 ἀδικία τίθησί τι, οὗ τεθέντος ἐξίσταται ἡ δικαιοσύνη, οὕτως ἀντίκειται ἐναντίως.

Πρὸς δὲ τὸ δεύτερον ῥητέον, ὅτι τὸ μέσον ἐν τοῖς ἠθικοῖς ἀντίκειται
f. 130 τοῖς ἄκροις, | τὸ δὲ μέσον ἐν τοῖς φυσικοῖς, οὔ, διότι ἐξ αὐτῶν συντίθεται, ὥσπερ ἡ ὠχρότης ἐκ τοῦ λευκοῦ καὶ τοῦ μέλανος· ἡ δὲ ἐλευθεριότης οὐ
25 συντίθεται ἐκ τῆς ἀσωτίας καὶ τῆς φειδωλίας, ἀλλὰ λέγεται κατὰ ἀπόφασιν ἑκατέρου, καὶ διὰ τοῦτο ἐκείνοις ἀντίκειται.

Ἕκτον, εἰδέναι δεῖ περὶ τῆς δευτέρας ἰδιότητος, ὅτι εἰ καὶ ὁ Φιλόσοφος ἐνίους ἀμφισβητεῖν φησὶ περὶ τῶν ἐξ ἀφαιρέσεως ποιῶν εἰ δέχονται τὸ μᾶλλον καὶ ἧττον, ἀλλ' ὡς τῷ Φιλοσόφῳ αὐτῷ καὶ τῇ ἀληθείᾳ δοκεῖ,
30 οὐδὲν εἶδος δύναται δέχεσθαι τὸ μᾶλλον καὶ ἧττον ἐν τῇ ἀφαιρέσει εἴτουν καθ' αὑτό, ἀλλὰ τῇ πρὸς τὸ ὑποκείμενον παραθέσει, ᾧ μᾶλλον καὶ ἧττον τὸ αὐτὸ εἶδος ἐπεισέρχεσθαι δύναται. Λέγει δὲ ὅτι τὸ τρίγωνον καὶ τετράγωνον καὶ ὅλως τὸ σχῆμα οὐκ ἐπιδέχεται τὸ μᾶλλον καὶ ἧττον οὔτε ἐν τῷ συγκεκριμένῳ, οὔτε ἐν τῷ ἐξ ἀφαιρέσεως, διότι τὸ τρίγωνον
35 καὶ ὁ κύκλος καὶ ὅλως τὸ σχῆμα, καὶ συγκεκριμένον ὄν, οὐδὲν διαφέρει τοῦ ἐξ ἀφαιρέσεως, ἐπεὶ τὸ εἶναι αὐτοῦ ἐστιν ἐξ ἀφαιρέσεως· οὐ γὰρ ζητεῖ τοιάνδε ὕλην καὶ ὧδέ πως διατεθειμένην, ὥσπερ τὰ εἴδη τὰ φυσικά, ἢ τὰ οὐσιώδη ἢ τὰ ἐπουσιώδη, ζητοῦσι τοιάνδε συμπλοκὴν ὕλης, καὶ κατὰ τὴν διαφορὰν τῆς συμπλοκῆς καὶ αὐτὰ ποικίλλονται· ἀλλὰ τὸ εἶδος τοῦ
40 κύκλου ἐν πάσῃ φύσει ἕν ἐστι καὶ τὸ αὐτό· ὅθεν καὶ ἐν τῷ λόγῳ αὐτοῦ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΑΝΑΣΤΗΜΙΟ ΕΡΕΥΝΩΝ ΜΟΝΑΣΤΗΡΙΟ ΒΛΑΤΑΔΩΝ ΘΕΣΣΑΛΟΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Ο. ΜΕΓΑΣ
Ε.Υ.Δ. ΙΩΑΝΝΙΝΑ 2006

οὐ παραλαμβάνεται ἡ ὕλη, ἢ τὸ ὑποκείμενον. Διὰ τοῦτο καὶ καθ' αὑτὰ ἐξ ἀφαιρέσεως τὰ τοιάδε λέγεται· τὰ δὲ φυσικὰ ἐξ ἀφαιρέσεως γίνονται τῇ δυνάμει τοῦ νοῦ, καθ' αὑτὰ δὲ οὐκ εἰσὶν ἀφῃρημένα οὔτε ἀφαιρετὰ τῆς ὕλης.

Ἕβδομον, ζητεῖται περὶ τῆς τρίτης ἰδιότητος. Δοκεῖ γὰρ μὴ εἶναι κυρίως ἰδιότης ὑπάρχουσα καὶ τῇ ἀναφορᾷ· τὸ γὰρ ὅμοιον καὶ ἀνόμοιον καὶ κατὰ τὴν ὁμοιότητα καὶ τὴν ἀνομοιότητα λέγεται, αἵ εἰσιν ἀναφοραί. Καὶ ῥητέον πρὸς τοῦτο, ὅτι αἱ δύο ποιότητες συνιοῦσαι ἅμα εἰσὶν αἰτία ποιητική τινος ὁμοιότητος καὶ τοῦ λέγεσθαί τι ὅμοιον τῷ λοιπῷ· αὐτὴ δὲ ἡ ὁμοιότης ἐστὶν εἰδικὴ αἰτία τῆς τοιαύτης κατὰ τὴν ὁμοιότητα | σχέσεως ἐν τοῖς ὁμοίοις καὶ τοῦ τόδε τῷδε ὅμοιον εἶναί τε καὶ λέγεσθαι. f. 130v

Ὄγδοον, ζητεῖται περὶ τῆς λύσεως τῆς ἀπορίας τῆς πρώτης, ὅπου φησὶν ὅτι τὰ γένη τῶν ἕξεων εἰσὶ τῶν πρός τι, ἤγουν ἡ ἐπιστήμη· τὰ δὲ εἴδη ποιότητες, οἷον ἡ γραμματική· τοὐναντίον γάρ φησιν ἐν τοῖς Τοπικοῖς, ὅτι ἐν ᾗ κατηγορία ἐστὶ τὸ γένος, ἐν ταύτῃ ἐστὶ καὶ τὸ εἶδος αὐτοῦ. Καὶ δεῖ λέγειν πρὸς τοῦτο, ὅτι ἡ ἐπιστήμη καὶ τὰ τοιαῦτα διχῶς δύνανται θεωρεῖσθαι· ἢ κατὰ τὸ πρᾶγμα, ὥσπερ κατὰ τῆς γραμματικῆς κατηγορεῖσθαι λέγεται ἡ ἐπιστήμη, καὶ οὕτως εἰσὶ ποιότητος, ὥσπερ τὰ εἴδη αὐτῶν· ἢ ὅσον πρὸς τὴν φωνήν, ἤγουν ὅσον πρὸς τοὔνομα, καὶ οὕτως εἰσὶν ἀναφορικὰ διὰ τὸ λέγεσθαι ἀναφορικῶς. Ἔνιοι δέ φασι ταύτην παντάπασι τὴν λύσιν σοφιστικὴν εἶναι· διὸ λέγουσι καὶ τὸν Ἀριστοτέλην εἰπεῖν τὸ σχεδόν. Ἀλλ' ἐμοὶ δοκεῖ ἀρκεῖν ἂν τῷ Ἀριστοτέλει πρὸς παραίτησιν τὴν ἡμετέραν ἐπίλυσιν.

De l'action et de la passion.

ΠΕΡΙ ΤΟΥ ΠΟΙΕΙΝ ΚΑΙ ΠΑΣΧΕΙΝ.

Ἐπιδέχεται δὲ καὶ τὸ ποιεῖν καὶ πάσχειν ἐναντιότητα.

Ἀποδοὺς ὁ Φιλόσοφος ἄχρι τοῦδε τὸν περὶ τῶν τεσσάρων κατηγοριῶν λόγον ἀκριβῶς τε καὶ ἐπεξειργασμένως, νῦν περὶ τῶν ἄλλων ἓξ κατ' ἐπιδρομὴν ποιεῖται τὸν λόγον, ὡς μὲν ἔνιοι λέγουσι, διότι ἐν τοῖς φυσικοῖς διωρίσατο περὶ τούτων· περὶ μὲν τοῦ ποιεῖν δηλονότι καὶ πάσχειν ἐν τῷ Περὶ γενέσεως καὶ φθορᾶς· ἐν δὲ τῷ βιβλίῳ Τῶν φυσικῶν περὶ τόπου καὶ χρόνου, καὶ ἑπομένως περὶ τοῦ ποῦ καὶ ποτέ. Ἐπεὶ δὲ οὐ δύνανται ἀποδοῦναι οὗτοι, ὅπου διώρισται εἰδικῶς περὶ τοῦ κεῖσθαι, οὐ λέγουσιν αἰτίαν ἱκανήν.

Ἕτεροι λέγουσιν, ὅτι ὁ λογικὸς θεωρεῖ τὰ πράγματα ἄνευ τῆς πρὸς τὴν ὕλην ῥοπῆς καὶ καθὸ ἀφέλκονται ἀπὸ τῆς φυσικῆς ὕλης. Ἀλλὰ τὰ

25 *Περὶ — πάσχειν* om AC

ΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΑΙΕΘΟΥΣΤΗΣ ΑΝ. ΙΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Ο. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἓξ ταῦτα καθ' αὑτὰ οὐ δύνανται γινώσκεσθαι ἄνευ τῆς πρὸς τὴν ὕλην ῥοπῆς, καὶ διὰ τοῦτο ἡ περὶ τούτων θεωρία οὐκ ἀφορᾷ πρὸς τὸν λογικόν. Ἐπεὶ δὲ τὰ ἄλλα δύνανται θεωρεῖσθαι οὐ πάνυ κατὰ τὴν πρὸς τὴν ὕλην ῥοπήν, διὰ τοῦτο ἀνήκουσι τῇ θεωρίᾳ τοῦ λογικοῦ, καὶ διὰ τοῦτο περὶ αὐτῶν εἰς πλάτος ὁ Φιλόσοφος διωρίσατο.

f. 131 Ἄλλοι δέ φασιν, ὅτι αἱ προειρημέναι τέσ|σαρες κατηγορίαι εἰσὶν ὥσπερ οὐσιώδη τῶν λοιπῶν ἕξ, τὰ δὲ ἓξ ταῦτα ὥσπερ ἀναφοραί τινες ἐκείνων· διὸ καὶ τὴν ἐνέργειαν καὶ τὸ πάθος ἀναφορὰς εἶναι τρόπον τινὰ φησὶν ὁ Φιλόσοφος ἐν τῇ Μετὰ τὰ φυσικά, ὥσπερ τὴν πατρότητα καὶ τὴν υἱότητα. Ἐπεὶ τοίνυν αἱ τέσσαρες ἐκεῖναι κατηγορίαι εἰσὶν αἰτίαι τούτων τῶν ἕξ, καὶ τῆς αἰτίας γινωσκομένης ἀρκούντως γινώσκεται καὶ τὸ ἀποτέλεσμα, διὰ τοῦτο ὁ Φιλόσοφος ἐν τοῖς περὶ τῶν τεσσάρων λόγοις δυνάμει καὶ τὰ περὶ τῶν ἓξ τούτων συμπεριέλαβεν ὡς ἐξ ἐκείνων γινώσκεσθαι δυνάμενα· διὸ φησὶ καὶ Ἀριστοτέλης ἐν τῷ γράμματι, ὅτι οὐδὲν ὑπὲρ τούτων ἄλλο λέγεται ἢ ὅσα ἐν ἀρχῇ ἐρρέθη, τουτέστιν ὅσα ἐρρέθη ἐν τοῖς περὶ τῶν τεσσάρων κατηγοριῶν λόγοις, αἵ εἰσιν ἀρχαὶ τούτων τῶν ὑπολοίπων. Ἀλλ' ἐπεὶ τοῦτο τὸ γράμμα καὶ ἄλλως δυνατὸν ἐξηγεῖσθαι ἡμᾶς, ἀρχὴν νοοῦντας τὰ ἐν προοιμίοις εἰρημένα, ὅπου γενικῶς καὶ καθόλου καί, ὡς αὐτὸς ἔλεγε, τύπῳ περὶ τῶν κατηγοριῶν διωρίζετο, οὐ σφόδρα περὶ τοῦ γράμματος τοῦ Ἀριστοτελικοῦ ἰσχυρίζεσθαι δεῖ· ὅμως ὅτι ταῦτα τὰ ἓξ γένη ἀποτελέσματα αὐτῶν εἰσι τῶν τεσσάρων, ἀληθές ἐστι. Φησὶ δὲ καὶ Ἀβερόης, ὅτι ἡ ἐνέργεια καὶ ἡ ποιότης τὸ αὐτό ἐστιν οὐσιωδῶς· ἐφόσον μὲν γὰρ διαρκεῖ ἡ δρᾶσις ἐν τῷ ὑποκειμένῳ, λέγεται ἐνέργεια, ἐπὰν δὲ ἠρεμήσῃ, λέγεται ποιότης.

Ἐμοὶ δὲ δοκεῖ ταύτης τῆς αἰτίας ἅπτεσθαι ὁ Ἀριστοτέλης μάλιστα ἐν τῷ λέγειν διὰ τὸ προφανῆ εἶναι· προφανῆ γάρ εἰσι δήπου οὐ καθ' αὑτά, ἀλλὰ διὰ τὸ ἤδη φανερωθῆναι ἐν ταῖς ἰδίαις αἰτίαις, εἰ καὶ καθ' αὑτὰ οὐδὲν ἧττον προφανῆ λέγεσθαι δύνανται, διότι τὰ τούτων εἴδη ἢ ἀϊδιότητες οὐ λανθάνουσι τοὺς πολλούς, ὥσπερ αἱ τῶν τεσσάρων ἐκείνων ἰδιότητες καὶ τὰ εἴδη· ἐκείνων γὰρ λανθάνουσι, διότι τῆς μὲν οὐσίας ἑκάστου οὐδὲν ἐνδότερον καὶ βαθύτερον, ποσότης δὲ καὶ ποιότης καὶ ἀναφορὰ συμβεβηκότα εἰσὶν ἔνδοθεν ἐπεισιόντα. Καὶ ταῦτα μὲν ἀρκεῖ ὅσον πρὸς θεωρίαν τῆς αἰτίας, δι' ἣν οὐκ ἐν πλάτει διεξέρχεται περὶ τῶν λοιπῶν κατηγοριῶν.

f. 131 v Ὁ μέντοι Βοήτιος, ἤ, | ὡς οἱ πλείους φασί, Πορρετάνος τις θεολόγος (τοὺς γὰρ εἰς Ἀριστοτέλην ἀναγράφοντας τὸ ἔργον δεῖ παραιτεῖσθαι) περὶ τούτων τῶν ἓξ ἀρχῶν κατὰ ζῆλον Ἀριστοτελικὸν συνεγράψατο, ὅπερ ἡρμήνευσα αὐτὸς εἰς τὴν ἡμετέραν φωνὴν ἀπὸ τῆς τῶν Λατίνων, καὶ ἔστιν οὐ τοῦ τυχόντος λόγου τὸ σύγγραμμα.

Περὶ δὲ τῆς ἐνεργείας καὶ τοῦ πάθους ἐνταῦθα ὁ Φιλόσοφος μετὰ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΛΙΕΤΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. ΤΟΣ Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τὴν ποιότητα διαλέγεται· ὡς ἀποτελεσμάτων αὐτῆς, καίτοι καὶ τὸ ποῦ καὶ τὸ πότε ἀποτελέσματά εἰσι τῆς ποσότητος· καὶ τούτῳ τῷ λόγῳ ἔδει καὶ ταῦτα τετάχθαι μετὰ τὴν ποσότητα. Ἀλλὰ ταῦτα μὲν γίνονται ἐκ τῆς ἐξωτερικῆς ποσότητος ἤγουν τοῦ τόπου καὶ τοῦ χρόνου, ἡ δὲ ποιότης καθὸ ποιότης καὶ καθ' αὑτὴν ἀρχή ἐστι τῆς ἐνεργείας καὶ τοῦ πάθους. Ὅθεν πᾶσα ποιότης πρὸς τοῦτο τέτακται φυσικῶς πρὸς τὸ διατιθέναι τὰ ὑποκείμενα πρός τε τὸ ποιεῖν καὶ τὸ πάσχειν.

Δεῖ δὲ θεωρεῖν ὅπως τάξει τινὶ θαυμασίᾳ ὁ Φιλόσοφος ἀπὸ τοῦ ἐπεξειργασμένου λόγου περὶ τῶν κατηγοριῶν κάτεισιν εἰς τὸν ἁπλούστατον καὶ οἷον εἰπεῖν αὐτονομαστικόν, ὥσπερ κατὰ μικρὸν τῆς ἀκριβείας ὑφιείς καὶ τοῦ πλάτους· περὶ μὲν γὰρ τοῦ ποιεῖν καὶ τοῦ πάσχειν τίθησι καὶ ἰδιότητα καὶ κατασκευάζει ταύτην, καὶ συμπεραίνει τὴν ἰδιότητα, καὶ πάλιν ἐπιλέγει· περὶ δὲ τοῦ κεῖσθαι καὶ ἀναμιμνήσκει ἡμᾶς, ὅτι εἶπεν ἐν τοῖς πρός τι, καὶ ὅτι εἶπεν αὐτὰ παρωνύμως ἀπὸ τῶν θέσεων λέγεσθαι. Τὸ δὲ ἔχειν ἐξηγεῖται διπλοῖς ὀνόμασι, τὸ δὲ ποῦ, ἑνί. Καὶ ὡς μὴ δυνάμενος εἴς τινα τρόπον στενώτερον ἐξηγήσεως ἀφικέσθαι, ἐνταῦθα ἵσταται περὶ τῶν ὑπολοίπων, λέγω δὲ τοῦ πότε, τοῖς ἐν τῇ ἀρχῇ εἰρημένοις περὶ αὐτῶν ἀρκεσθείς.

Leçon XVI.

Des opposés et des contraires.

ΑΝΑΓΝΩΣΙΣ ΕΚΚΑΙΔΕΚΑΤΗ. ΠΕΡΙ ΤΩΝ ΑΝΤΙΚΕΙΜΕΝΩΝ.

Νῦν ἄρχεται τὸ τρίτον μέρος τῆς παρούσης πραγματείας, τὸ μετὰ τὰς κατηγορίας, ἐν ᾧ διορίζεται περί τινων ἰδιοτήτων πέντε, ὧν ἡ γνῶσις ἕπεται τῇ γνώσει τῶν κατηγοριῶν, καὶ αἵτινες ἰδιότητες οὐκ εἰσὶ μιᾶς τινος κατηγορίας εἰδικῶς· αἱ τοιαῦται γὰρ ἰδιότητες, ἐν τοῖς ἰδίοις ἑκάστῃ τόποις ἀπεδόθησαν ἱκανῶς. Ἀλλ' εἰσὶν ἰδιότητες, ἑπόμεναι πάσαις ταῖς κατηγορίαις κοινῶς. Διαιρεῖται δὲ τὸ μέρος τοῦτο εἰς πέντε, ὅσαι εἰσὶ καὶ | αἱ ἰδιότητες αὗται. Εἰσὶ δὲ πέντε· ἡ ἀντίθεσις, ἡ τάξις, τὸ ἅμα, ἡ κίνησις καὶ ἡ ἕξις. Ὅθεν, πρῶτον μὲν πραγματεύεται ἐνταῦθα περὶ τῶν ἀντικειμένων· δεύτερον, περὶ τοῦ προτέρου· τρίτον, περὶ τοῦ ἅμα· τέταρτον, περὶ τῆς κινήσεως· πέμπτον, περὶ τοῦ ἔχειν. Τὸ δὲ πρῶτον μέρος, ἐν ᾧ περὶ τῶν ἀντικειμένων λέγει, διαιρεῖται οὕτω καθόλου· πρῶτον, τίθησι τὸν οἰκεῖον σκοπόν· δεύτερον, ἐπεξεργάζεται ἐν τῷ· „Λέγεται δέ." Καὶ τὸ δεύτερον διαιρεῖται οὕτω· πρῶτον, λέγει πόσα καὶ τίνα εἰσὶ τὰ γένη τῶν ἀντιθέσεων, πρῶτον μὲν διαιρῶν, εἶτα καὶ παραδείγμασι φανερῶν ἐν τῷ· „Ἀντίκειται δὲ ἕκαστον." Δεύτερον, παραβάλλει ταῦτα τὰ τέσσαρα γένη τῆς ἀντιθέσεως πρὸς ἄλληλα, δεικνὺς ὅτι ἀναγκαίως εἰσὶ τέσσαρα ὡς ἀντιδιῃρημένα καὶ μὴ ὄντα ἕκαστον ὅπερ ἕτερόν τι τῶν λοιπῶν·

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΗΣ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΟΥ ΝΕΟΥ ΕΛΛΗΝΙΣΜΟΥ ΚΑΙ ΚΘΗΕΣ ΚΟΣΤΑΝΤΙΝΟΥ ΘΕΣΣΑΛΟΝΙΚΗΣ
ΕΠΙΣΤΗΜΟΝΙΚΗ ΕΠΙΤΡΟΠΗ ΕΚΔΟΣΕΩΝ ΔΙΕΥΘΥΝΤΗΣ Α. ΚΙΤΣΟΠΟΥΛΟΣ
Ε.Υ. Δημ. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

οὕτω γὰρ δείκνυσιν, εὐθὺς ἀπὸ τῶν πρός τι ἀρχόμενος, ὅτι τὰ πρός τι οὐκ ἀντίκεινται ὡς τὰ ἐναντία· εἶτα, ὅτι ἡ στέρησις οὔτε ὡς τὰ πρός τι, οὔτε ὡς τὰ ἐναντία· εἶτα, ὅτι ἡ ἀντίφασις κατ' οὐδεμίαν τῶν τριῶν ἀντιθέσεων ἔχει. Ὅπως δὲ ταῦτα οὕτω τιθεὶς ἱκανῶς ἀλλήλων διακρίνει τὰ εἴδη τῆς ἀντιθέσεως, δῆλόν ἐστι τοῖς ἐπισκοπεῖν βουλομένοις. Τρίτον, ἀναζητεῖ καὶ ἐπαναλαμβάνει τὸν περὶ τῶν ἐναντίων λόγων, ὥστε προσθεῖναί τινα ἀναγκαῖα τῇ περὶ αὐτῶν θεωρίᾳ, ἐν τῷ· „Ἐναντίον δέ ἐστιν.“ *

Προοιμιασάμενος τοίνυν καὶ διελόμενος καὶ παραδείγμασι φανερώσας τὰ εἴδη τῆς ἀντιθέσεως, ἄρχεται παραβάλλειν ἐν τῷ· „Ὅσα μὲν οὖν ὡς τὰ πρός τι ἀντίκειται.“ Διακρίνει τοίνυν πρῶτον, ὡς εἴρηται, τὰ πρός τι τῶν ἐναντίων λόγῳ τοιῷδε· ὅσα ὡς τὰ πρός τι ἀντίκειται, αὐτὰ ἅπερ ἐστὶν ἑτέρων εἶναι λέγεται, ἢ ὁπωσοῦν ἄλλως πρὸς αὐτά, καὶ δείκνυσι τοῦτο ἀπὸ τῆς ἐπιστήμης καὶ τοῦ ἐπιστητοῦ, καὶ τοῦ διπλασίου καὶ τοῦ ἡμίσεως. Τὰ δὲ ἐναντία αὐτὰ ἅπερ ἐστὶν οὐδαμῶς πρὸς ἄλληλα λέγεται, εἰ καὶ ἐναντία ἀλλήλων λέγονται· καὶ δείκνυσι τοῦτο ἐπί τε τοῦ ἀγαθοῦ καὶ κακοῦ, καὶ τοῦ λευκοῦ καὶ τοῦ μελάνος. Τὰ πρός τι ἄρα οὐκ εἰσὶν ἐναντία· ὥστε διαφέρουσιν αὗται αἱ δύο ἀντιθέσεις ἀλλήλων, φησίν.

f. 132v

Ὅσα δὲ τῶν ἐναντίων.

Ἐπεὶ δὲ περὶ μὲν τῶν πρός τι εἶπεν ἐπεξειργασμένως ἐν τῷ δευτέρῳ τμήματι τῆς παρούσης πραγματείας, περὶ δὲ τῶν ἐναντίων οὔπω ἔτυχεν εἰρηκὼς ἐν πλάτει, νῦν λέγει περὶ αὐτῶν, ἅμα μὲν ἵνα γινώσκηται ἡ ἀντίθεσις ἡ κατὰ ταῦτα τίς ἐστι καὶ ποσαχῶς λέγεται, ἅμα δὲ ἵνα καὶ ἡ διαφορὰ τῶν πρός τι πρὸς ταῦτα μᾶλλον φανερωθῇ.

Διαιρεῖ τοίνυν τὰ ἐναντία εἰς ἄμεσα καὶ εἰς ἔμμεσα· περὶ ὧν τοιοῦτόν τι δίδωσι σημεῖον, λέγων ὅτι ἄμεσα ἐναντία ἐστὶν ὧν ἀεὶ θάτερον ὑπάρχει τῷ δεκτικῷ ἐν ᾧ πέφυκε γίνεσθαι· καὶ δηλοῖ τὰ κατὰ τὰ συμβεβηκὸς ἐναντία, ἢ οὗ κατηγορεῖται, καὶ δηλοῖ τὰ καθ' αὑτό. Εἴρηται γὰρ ὅτι τὸ ὑποκείμενον διχῶς ἐστι, πρός τε κατηγορίαν καὶ πρὸς ὕπαρξιν. Εἶτα τίθησι παραδείγματα τῶν μὲν ἐναντίων ὧν θάτερον ἀνάγκη ὑπάρχειν τῷ δεκτικῷ ἐν ᾧ πεφύκασι γίνεσθαι, τὴν νόσον καὶ τὴν ὑγείαν· τῶν δὲ

* Ce diagramme au f. 132, à la marge supérieure A



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἐναντίων ὧν θάτερον ἀεὶ ὑπάρχει τῷ δεκτικῷ οὗ πεφύκασι κατηγορεῖσθαι, τὸ περιττὸν καὶ τὸ ἄρτιον, ἅπερ εἰσὶ καθ' αὑτὰ πάθη τοῦ ἀριθμοῦ. Εἶτα τίθησι σημεῖον τῶν ἐμμέσων ἐναντίων, λέγων ἔμμεσα εἶναι ὧν οὐκ ἀνάγκη θάτερον ὑπάρχειν τῷ δεκτικῷ. Καὶ οὐκ εἶπεν ἐνταῦθα· ἐν ᾧ πέφυκε γίνεσθαι ἢ οὗ κατηγορεῖται, διότι πάντα τὰ ἔμμεσα ἐναντία συμβεβηκότα κυρίως εἰσίν. Τίθησι δὲ καὶ τούτων παραδείγματα τὸ λευκὸν καὶ μέλαν, καὶ τὸ φαῦλον καὶ σπουδαῖον. Εἶτα ὑποδιαιρεῖ τὰ ἔμμεσα, λέγων ἐν τούτῳ εἶναι διαφορὰν τῶν ἐμμέσων, ὅτι ἐνίων μὲν αὐτῶν ταῖς μεσότησι κεῖνται ὀνόματα, οἷον τὸ μέσον λευκοῦ καὶ μέλανος ὀνομάζεται φαιὸν καὶ ὠχρὸν καὶ τὰ τοιαῦτα, καὶ τὸ μέσον ψυχροῦ καὶ θερμοῦ χλιαρὸν καλεῖται· ἐνίων δὲ ταῖς μεσότησιν οὐ κεῖνται ὀνόματα, ἀλλ' ἐπὶ τούτων ὁρίζεται τὸ μέσον τῇ ἀποφάσει ἑκατέρου τῶν ἄκρων, οἷον τὸ μήτε φαῦλον μήτε σπουδαῖον, καὶ μήτε δίκαιον μήτε ἄδικον. Ἀλλ' αὕτη μὲν ἡ διαίρεσις τῶν ἐμμέσων ἐστὶν ὅσον κατὰ τὸ ὄνομα· διαιρεῖται δὲ τῇ πρὸς τὸ ὑποκείμενον παραθέσει καὶ ἄλλως, ἣν διαίρεσιν θήσει αὐτὸς ὕστερον, | ὁπόταν διακρίνηται κατὰ στέρησιν καὶ ἕξιν ἀντικείμενα τῶν ἐναντίων· f. 133 καὶ ἡ διαίρεσίς ἐστιν αὕτη, ὅτι τὰ ἐναντία ταῦτα ἅπερ καθ' αὑτά εἰσιν ἔμμεσα ἔν τισι μὲν ὑποκειμένοις οὕτως εἰσὶν ὥστε μὴ εἶναι ἐξ ἀνάγκης τὸ ἕτερον αὐτῶν, ἀλλ' ἐνδέχεσθαι καὶ ἀμφότερα ἀπεῖναι· ἔν τισι δὲ ὑποκειμένοις οὕτως εἰσὶν ὥστε ἐξ ἀνάγκης εἶναι ἐν αὐτοῖς τὸ ἕτερον αὐτῶν, καὶ οὐχ ὁπότερον ἔτυχεν, ἀλλὰ τὸ ἓν ἀφωρισμένως, ὥσπερ τῷ πυρὶ ἡ θερμότης, καὶ τῇ χιόνι ἡ λευκότης· φύσει γὰρ ἐνυπάρχει τῷ πυρὶ ἡ θερμότης, καὶ τῇ χιόνι ἡ λευκότης.

[Ζητήματα.]

Περὶ τοῦτο τὸ μέρος ζητεῖται πρῶτον περὶ τῆς χρείας τοῦ κεφαλαίου τούτου τοῦ μετὰ τὰς κατηγορίας. Δόξειε γὰρ ἂν παρέλκον εἶναι διὰ τὸ περὶ τῶν δέκα κατηγοριῶν διαλαβεῖν ἱκανῶς, ἐν αἷς πάντα περιέχονται. Πρὸς τοῦτο τοίνυν ἰστέον ὅτι, ὡς οἱ ἐξηγηταὶ κοινῶς λέγουσιν, ἔδει καὶ περὶ τούτων τῶν πέντε διαλαβεῖν ἐνταῦθα καὶ τῇ τάξει ταύτῃ, οἷον περὶ τῶν ἀντικειμένων, πρῶτον, εἶτα καὶ περὶ τῶν ἄλλων τεσσάρων ἐφεξῆς. Καὶ γὰρ περὶ ἑκάστης τῶν κατηγοριῶν ἐζήτησε πρότερον εἰ ἔχει ἐναντιότητα, ἢ μή. Ἐν δὲ τοῖς πρός τι εἶπε τὸ μέγα καὶ τὸ μικρὸν μὴ εἶναι ἐναντία, ἀλλ' ἀντικείμενα· τί δ' ἂν εἴη τὸ ἀντικείμενον λέγειν παρῆκεν, ἵνα μὴ διαρρήξῃ τὴν τῆς διδασκαλίας συνεχῆ τάξιν. Τὸ τοίνυν ἐκεῖ παρειμένον ἐνταῦθα διδάσκει.

Ἔτι, ἐν τοῖς ἀναφορικοῖς εἶπεν, ὅτι εἰσὶν ἅμα τῇ φύσει, καὶ διὰ τοῦτο λέγει περὶ τοῦ ἅμα καὶ τοῦ προτέρου τοῦ τῷ ἅμα ἀντικειμένου. Ἐπεὶ δὲ περὶ τοῦ ποιεῖν καὶ πάσχειν εἶπεν, ἐν οἷς ἡ κίνησις θεωρεῖται, ἀνάγκη ἦν καὶ περὶ κινήσεως διαλεχθῆναι. Ἐπεὶ δὲ πανταχοῦ τὴν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΕΥΤΟΥΝΤΗΣ ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥ Ο. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ τῆς Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006